# 17 NOIEMBRIE

# PARACLISUL SF.IERARH GRIGORIE TAUMATURGUL AL NEOCEZAREEI PONTULUI

## PARACLISIER-GR


Ὁ
ἉΓΙ
ΟΣ
ΓΡΗ
ΓΌΡΙΟΣ
Ὁ
ΝΕΟΚΑΙΣΑΡΕ

# 17 ΝΟΕΜΒΡΙΟΣ ΓΡΗΓΟΡΙΟΣ ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ είς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι είς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*
Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. γ'. *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*
Θαυματουργίας σε πηγὴν ἐπιγνόντες, πρὸ τοῦ τιμίου σου λειψάνου βοῶμεν, θαυματουργὲ Γρηγόριε γρηγόρως τὰς φωνάς, τῶν σοὶ μετὰ πίστεως, προστρεχόντων προσδέχου, ταύτας δὲ πρὸς Κύριον, ἀναβίβαζε Πάτερ, ὅπως ῥυσθῶμεν τῶν ἀσθενειῶν, ψυχῶν σωμάτων, Αὐτὸν μεγαλύνοντες.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρὺσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Γρήγορος φάνηθι, Πάτερ, τῇ παρακλήσει. Ἀ*(θανάσιος).

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Γρηγόριε Πάτερ θαυματουργέ, ὡς τῆς ἀληθείας, παιδόθεν ὢν ἐραστής, καὶ ταύτην ἐν βίῳ ἐξασκήσας, κἀμὲ δυσώπει ἀεὶ ταύτης ἔχεσθαι.

Ῥοώδη τὴν φύσιν καταμαθών, Πάτερ τῶν προσκαίρων, ἡδονὴν τὴν πνευματικήν, συνέζευξας θείᾳ σωφροσύνῃ, ἣν δώρησαί μοι βοῶ καθαρώτατε.
Ἡγήσω ὡς σκύβαλα καὶ οὐδέν, πάντα τὰ παρόντα, Θεῷ μόνῳ προσκολληθείς, κρατῶν τῆς κοιλίας ἐγκρατείας, ἧς με ἐργάτην ἐναπόδειξον.

*Θεοτοκίον.*

Γρηγόρως Παρθένε τῷ Σῷ Υἱῷ, ἱκέτευε ὅπως, ἐποφθῇ μοι τῷ ταπεινῷ, καὶ δῷ μοι ὡς θείῳ Γρηγορίῳ, θεολογίας ὑπέρτατον χάρισμα.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὁ τὸ θεῖον φορέας τῆς ταπεινώσεως ἔνδυμα, Πάτερ ταπεινότατε πάντα, ἡμῶν ἀλλοίωσον, φρόνημα ἔπαρσιν, κενοδοξίαν ἀπάτην, ἐγκαινίζων ἄριστα, πνεῦμα τὸ μέτριον.
Ῥυπωθέντας τοῦ βίου τοῖς χαλεποῖς πταίσμασιν, κάθαρον πρεσβείαις σου θείαις, Πάτερ Γρηγόριε, πάθη δὲ ἅπαντα, ἄπωθεν δίωξον μάκαρ, ὥσπερ ἀπεδίωκες, ψυχῶν τοὺς δαίμονας.
Οὐχὶ μόνον σοφία ἐγκατοικεῖ ἔνδον μου, φίλε τῆς Σοφίας τῆς ὄντως, ἀλλά ἡ ζόφωσις, ἥνπερ διάλυσον, καὶ ἐπιλάμψαι εὐχαῖς σου, Ἥλιος ἀνέσπερος, Χριστὸς ὁ Κύριος.

*Θεοτοκίον.*

Σὺ γινώσκεις Παρθένε τὸ δυσειδὲς πρόσωπον, ὅπερ ἡ ψυχή μου ἡ τάλαινα νῦν ἐπενδέδυται· ὅθεν Σου

δέομαι, τῇ μητρικῇ Σου θωπείᾳ, τοῦτο ἀποκάθαρον, ἁγνὴ ἀμόλυντε.

Διάσωσον, γρηγόρως Πάτερ ταῖς σαῖς πρεσβείαις, σοὺς δούλους ὅτι πόθῳ πολλῷ πρὸς σὲ καταφεύγομεν, ὡς πρέσβυν τε ἀκαταίσχυντον καὶ μεσίτην.
Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Θαυμάτων κρουνός, φιλανθρωπίας πέλαγος, ὑπάρχεις ἀεί, Γρηγόριε θεσπέσιε· διὸ πόθῳ βοῶμέν σοι· τῷ Δεσπότῃ ἱκέτευε δωρήσασθαι, ἁμαρτιῶν τὴν ἄφεσιν ταχύ, ἀσθενειῶν τε, τὴν γρήγορον λύτρωσιν.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Φύλαξόν με τρισόλβιε, ἀπὸ συμπτωμάτων τῆς γλώττης δέομαι, τῆς δεινῆς συκοφαντίας τε, ὡς συντρίψας ταύτην πώποτε.
Ἀληθῆ με ἀνάδειξον, Πάτερ μαθητὴν τοῦ Κυρίου μου, ὡς ὑπάρξας Εὐαγγέλιον, ἔμπνουν χαριέστατον καὶ ἰσόβιον.
Νέκρωσόν μου πᾶν φρόνημα, ἔρωτα φιλόγειόν τε ἀπόσβεσον, ὁ νεκρώσας τὰ σκιρτήματα, τῆς πηλοῦ σου πάναγνε Γρηγόριε.

*Θεοτοκίον.*

Ἡ παρέχουσα πάντοτε, τὰ τῶν αἰτημάτων τὰ συμφέρωτερα, δὸς κἀμοὶ δέομαι Δέσποινα, νοῦν ἁγνὸν καρδίαν ὅλως ἄτυφον.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Θείῳ φωτισμῷ, ὁδηγούμενος Γρηγόριε, τὴν σὴν καρδίαν ἀπεκάθηρας, συγγενῶν καὶ ἐπικτήτων παθῶν, ὧν κἀμὲ εὐχαῖς σου ἀποκάθαρον.
Ἱερατικήν, ἁλουργίδα ὡς ἐφόρεσας, θύτης καὶ θῦμα Πάτερ γέγονας, Χριστὸν μὲ θύνων καὶ Αὐτῷ, θνήσκων τὴν προαίρεσιν.
Πνεῦμα ἐπὶ σέ, τὸ Πανάγιον ἐκκέχυται, καὶ οἶκον τούτου σὲ ἐποίησεν, ὅπερ εὐχαῖς σου, τοῖς ἐγκάτοις μου ἐγκαίνισον.

*Θεοτοκίον.*

Ἄγρυπνον τὸ νοῦν, Θεοτόκε μου συντήρησον, ἵνα Υἱοῦ Σου δοῦλος φρόνιμος, ὀφθῶ Παρθένε, καὶ μὴ κολασθήσωμαι.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Τὸ ὄρος ὡς Μωϋσῆς, τῆς θεωρίας κατέλαβες, δογμάτων δὲ μυηθείς, γνῶσιν ἀκριβέστατα· ὅθεν σου δεόμεθα, μύησον εὐχαῖς σου, τῶν δογμάττων τὴν ἀλήθειαν.
Ἐδιωκες τὴν πληθύν, τῶν δαιμονίων Γρηγόριε, τῇ κλήσει τοῦ Ἰησοῦ, ἀλλὰ καὶ νῦν δίωξον, πάθη τὰ

δυσέκληπτα, ἀπὸ τῶν τιμώντων, σοῦ τὴν μνήμην τὴν πανίερον.
Ῥημάτων σου τῇ φωνῇ, ὁ λίθος Πάτερ ὑπήκουσεν, ὡς δοῦλος δὲ εὐπειθής, εὐθὺς μετετόπισεν, λίθον δ' ὃς ἐπίκειται τῆς ἀναισθησίας, ἐκ ψυχῶν ἡμῶν ἀφάρπασον.

*Θεοτοκίον.*

Τὴν εὔνοιαν ἀγαθή, ἣν πρὸς τὸν δοῦλόν Σου ἔδειξας, Γρηγόριον τὸν σεπτόν, δεῖξον καὶ τοῖς δούλοις Σου, εἰ γὰρ καὶ ἡμάρτομεν, ὅμως Μῆτερ τέκνα, Σοῦ καλεῖσθαι οὐκ ἀρνούμεθα.

Διάσωσον, γρηγόρως Πάτερ ταῖς σαῖς πρεσβείαις, σοὺς δούλους ὅτι πόθῳ πολλῷ πρὸς σὲ καταφεύγομεν, ὡς πρέσβυν τε ἀκαταίσχυντον καὶ μεσίτην.
Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ἐν κινδύνοις πολλοῖς προστάτην σε εὑράμενοι, ταῖς εὐχαῖς σου εὐθὺς Γρηγόριε στομούμεθα, καὶ τῶν κακῶν ἐπιφορὰς διώκομεν τῇ κλήσει σου, ὡς τῶν θαυμάτων σε πηγήν, γνωρίζοντες τρισόλβιε· παῦσον τὰς τρικυμίας, σβέσον ἐχθροῦ τὰ βέλη, καὶ τοὺς τιμῶντας τὴν σεπτήν, σοῦ μνήμην Πάτερ φύλαττε.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*
Στ.: *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. Ι', 9-16).*

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*
Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Λείψανόν σου τίμιον, πλουτοῦντες Πάτερ τιμῶμεν, τὴν ἁγίαν μνήμην σου, καὶ θερμῶς προσπίπτοντες, ἐκβοῶμέν σοι· πάντας ἡμᾶς φύλαττε, ἀνεπηρεάστους, τῶν βελῶν τοῦ πολεμήτορος, καὶ ῥῶσιν χάριζαι, θεῖαν ταῖς ψυχαῖς καὶ τοῖς σώμασι, πρεσβείαις σου ὀχύρωσον, πάντα λογισμὸν καὶ πᾶν φρόνημα· ἵνα σε ἐκ πόθου, προσάγωμεν εὐχάριστον φωνήν, καὶ εὐεργέτην γνωρίζομεν, γρήγορε Γρηγόριε.

*ᾨδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἡ μισάδελφος ῥῆξις διεῤῥάγη τὴν λίμνην σοῦ ἐκξηράνατος· διό σε ἱκετεύω, ἐκ τῆς ἐμῆς καρδίας, τὸ μισάδελφον ἔκβλαλε, ἵνα βοῶ τῷ Θεῷ· Σὺ ὁ εὐλογητὸς εἶ.

Παλαιότης ἠθῶν τε καὶ μανίας ἀγνοίας πόῤῥω ἐκβέβλησο, πρεσβείαις Γρηγορίου, ἐγείροντος Κυρίῳ, προσευχῆς ἐργαστήρια, ἐν οἷς βοῶμεν αὐτῷ· Θεὸς εὐλογητὸς εἶ.

Ἀνθρακέα γνωρίσας δεκτικὸν θείας Χάριτος προεχείρισας, διάκονον Κυρίου· διὸ ἡμᾶς βοῶντας, ἀποσμήξας χαρίτωσον, ἵνα βοῶμεν Θεῷ· Σὺ ὁ εὐλογητὸς εἶ,

*Θεοτοκίον.*

Ῥάβδος οὖσα Παρθένε Ἀαρὼν παραδόξως ἡ ἐκβλαστήσασα, ἱκέτευε Κυρίῳ, ἅμα τῷ Γρηγορίῳ, ἵνα

τάμῃ τὰ σύῤῥιζα, ἐκ τῶν ὑμνούντων θερμῶς· Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἄγρυπνον ὄμμα, ἀναδειχθεὶς θεοφόρε, τοὺς τιμῶντάς σε δεῖξον γρηγοροῦντας, ὅπως συναφθῶμεν, Χριστῷ εἰς τοὺς αἰῶνας.

Κεκαρωμένους, ἐν ταῖς μερίμναις τοῦ βίου, διανάστησον Πάτερ ταῖς εὐχαῖς σου, ἵνα μελετῶμεν, Χριστὸν εἰς τοὺς αἰῶνας.

Λύκου ὡς στήσας, τὸ ἀκατάσχετον ῥεῦμα, νοουμένου λύκου στῆσον ὕδωρ, ἵνα σε τιμῶμεν, Πάτερ εἰς αἰῶνας.

*Θεοτοκίον.*

Ἤδη τοῦ τέλους, ἐνισταμένου Παρθένε, τοῦ θανάτου τὴν μνήμην δώρησαί μοι, ὅπως Σε δοξάζω, ἁγνὴ εἰς τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Σημείων πληρωθέντα, ἔγνωμεν σὸν βίον, θαυματουργὲ καὶ πανθαύμαστε Ὅσιε· ὅθεν ἡμᾶς μὴ παρίδῃς, ποτὲ ὑμνοῦντάς σε.

Ἐν ξένῳ κατετέθης, Πάτερ σὺ μνημείῳ· ὅθεν διδάσκεις ἡμᾶς τὴν ἀκτήμονα, διαγωγήν τε καὶ τρόπον, τὸν παρεπίδημον.

Ἱκέτευε τρισμάκαρ, τὴν φανερωθεῖσαν, ὑπερφυῶς Σοι Τριάδα τὴν πάντιμον, ὑπὲρ τῶν ὅσοι προσδράμομεν τῇ πρεσβείᾳ σου.

### *Θεοτοκίον.*

Ἀγάλλου Θεοτόκε, βλέπουσα τὸ πλῆθος, τῶν Σῶν ἐγγόνων δοξάζον τὸν Κύριον, Ὃν ἐσωμάτωσας Κόρη, καὶ Ὃν ἱκέτευε.

### *Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τῇ φιλοσοφίᾳ πρὸς ἀληθῆ, γνῶσιν κεχρημένος, οἷα κλίμακι νοητῇ, πρὸς θεολογίας, ἀνέδραμες τὸ ὕψος, Γρηγόριε πραγμάτων, καινῶν διάκονε.

Τοὺς προσπτυσσομένους τὴν ἱεράν, καὶ ἀσπαζομένους, κάραν σοῦ τὴν θεοπρεπῆ, φρούρει ἐκ παντοίων, δεινῶν ἀῤῥωστημάτων, καὶ πανοικεὶ τὴν θείαν, Χάριν μετάδιδε.

Παροικίας Πάτερ οἶκον τὸν σόν, βρύσιν ἰαμάτων, τοῖς προστρέχουσιν ἐν ψυχῆς, δεῖξον καὶ πλημμύραν, ἔκχεε τῶν θαυμάτων, ἵνα ὑμνῶμεν πάντες, σὲ ἀσπαζόμενοι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πᾶσα, ἐκδιώκεται πληθύς, τῶν ἀῤῥωστημάτων τῇ κλήσει, τοῦ σοῦ ὀνόματος, πάντιμε Γρηγόριε, καὶ Ἱεράρχα κλεινέ· ὅθεν πίστει προσπίπτομεν, καὶ πόθῳ καρδίας, σοῦ κατασπαζόμεθα τίμια λείψανα· ἵνα τὴν σὴν χάριν λαβόντες, εὔθυμοι βοῶμεν Κυρίῳ· θαυμαστὸς Σὺ ἐν τοῖς Ἁγίοις Σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως. Τὴν πᾶσαν ἐλπίδα μου είς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*